νες τῆς γῆς, ἐνώπιον αὐτοῦ προπεσοῦνται
πάντες οἱ καταβαίνοντες εἰς γῆν.
Καὶ ἡ ψυχή μου αὐτῷ ζῇ, καὶ τὸ σπέρμα
μου δουλεύσει αὐτῷ.
Ἀναγγελήσεται τῷ κυρίῳ γενεὰ ἡ ἐρχομέ-
νη, καὶ ἀναγγελοῦσι τὴν δικαιοσύνην αὐτοῦ
λαῷ τῷ τεχθησομένῳ ὃν ἐποίησεν ὁ κύριος.

Ψαλμὸς τῷ Δαβίδ. Ψ κβ΄.

Κύριος ποιμαίνει με καὶ οὐδέν με ὑστε-
ρήσει, εἰς τόπον χλόης ἐκεῖ με κατεσκήνωσεν.
Ἐπὶ ὕδατος ἀναπαύσεως ἐξέθρεψέ με, τὴν
ψυχήν μου ἐπέστρεψεν.
Ὡδήγησέν με ἐπὶ τρίβους δικαιοσύνης,
ἕνεκεν τοῦ ὀνόματος αὐτοῦ.
Ἐὰν γὰρ καὶ πορευθῶ ἐν μέσῳ σκιᾶς θανά-
του, οὐ φοβηθήσομαι κακά, ὅτι σὺ μετ' ἐμοῦ εἶ.
Ἡ ῥάβδος σου καὶ ἡ βακτηρία σου, αὐταί
με παρεκάλεσαν.
Ἡτοίμασας ἐνώπιόν μου τράπεζαν, ἐξεν-
αντίας τῶν θλιβόντων με.
Ἐλίπανας ἐν ἐλαίῳ τὴν κεφαλήν μου, καὶ
τὸ ποτήριόν σου μεθύσκον ὡσεὶ κράτιστον.

http://digital.slub-dresden.de/ppn346241804/57